*φιλεῖ δ᾽ ὀλβοδότειραν Εἰ-*
*ρήναν, κουροτρόφον θεάν.*
*ἴσα δ᾽ ἔς τε τὸν ὄλβιον*
*τόν τε χείρονα δῶκ᾽ ἔχειν*
*οἴνου τέρψιν ἄλυπον·*
*μισεῖ δ᾽ ᾧ μὴ ταῦτα μέλει,*
*κατὰ φάος νύκτας τε φίλας*
*εὐαίωνα διαζῆν·*
*σοφὸν δ᾽ ἀπέχειν πραπίδα φρένα τε*
*περισσῶν παρὰ φωτῶν·*
*τὸ πλῆθος ὅ τι τὸ φαυλότερον*
*ἐνόμισε χρῆταί τε, τόδ᾽ ἂν δεχοίμαν.*

*ΘΕΡΑΠΩΝ*

*Πενθεῦ, πάρεσμεν τήνδ᾽ ἄγραν ἠγρευκότες*
*ἐφ᾽ ἣν ἔπεμψας, οὐδ᾽ ἄκρανθ᾽ ὡρμήσαμεν.*
*ὁ θὴρ δ᾽ ὅδ᾽ ἡμῖν πρᾶος οὐδ᾽ ὑπέσπασεν*
*φυγῇ πόδ᾽, ἀλλ᾽ ἔδωκεν οὐκ ἄκων χέρας,*
*οὐδ᾽ ὠχρός, οὐδ᾽ ἤλλαξεν οἰνωπὸν γένυν,*
*γελῶν δὲ καὶ δεῖν κἀπάγειν ἐφίετο*
*ἔμενέ τε, τοὐμὸν εὐπρεπὲς ποιούμενος.*
*κἀγὼ δι᾽ αἰδοῦς εἶπον· Ὦ ξέν᾽, οὐχ ἑκὼν*
*ἄγω σε, Πενθέως δ᾽ ὅς μ᾽ ἔπεμψ᾽ ἐπιστολαῖς.*
  *ἃς δ᾽ αὖ σὺ βάκχας εἷρξας, ἃς συνήρπασας*
*κἄδησας ἐν δεσμοῖσι πανδήμου στέγης,*
*φροῦδαί γ᾽ ἐκεῖναι λελυμέναι πρὸς ὀργάδας*
*σκιρτῶσι Βρόμιον ἀνακαλούμεναι θεόν·*
*αὐτόματα δ᾽ αὐταῖς δεσμὰ διελύθη ποδῶν*